22 σάρκα ζῶσαν, καθὼς ἐποίησα. [22]πάσας τὰς ἡμέρας τῆς γῆς σπέρμα
καὶ θερισμός, ψῦχος καὶ καῦμα, θέρος καὶ ἔαρ ἡμέραν καὶ νύκτα
οὐ καταπαύσουσιν.
9 [1]Καὶ ηὐλόγησεν ὁ θεὸς τὸν Νωε καὶ τοὺς υἱοὺς αὐτοῦ καὶ εἶπεν
αὐτοῖς Αὐξάνεσθε καὶ πληθύνεσθε καὶ πληρώσατε τὴν γῆν καὶ
2 κατακυριεύσατε αὐτῆς. [2]καὶ ὁ τρόμος ὑμῶν καὶ ὁ φόβος ἔσται
ἐπὶ πᾶσιν τοῖς θηρίοις τῆς γῆς καὶ ἐπὶ πάντα τὰ ὄρνεα τοῦ οὐρα-
νοῦ καὶ ἐπὶ πάντα τὰ κινούμενα ἐπὶ τῆς γῆς καὶ ἐπὶ πάντας τοὺς
3 ἰχθύας τῆς θαλάσσης· ὑπὸ χεῖρας ὑμῖν δέδωκα. [3]καὶ πᾶν ἑρπετόν,
ὅ ἐστιν ζῶν, ὑμῖν ἔσται εἰς βρῶσιν· ὡς λάχανα χόρτου δέδωκα
4 5 ὑμῖν τὰ πάντα. [4]πλὴν κρέας ἐν αἵματι ψυχῆς οὐ φάγεσθε· [5]καὶ
γὰρ τὸ ὑμέτερον αἷμα τῶν ψυχῶν ὑμῶν ἐκζητήσω, ἐκ χειρὸς πάν-
των τῶν θηρίων ἐκζητήσω αὐτὸ καὶ ἐκ χειρὸς ἀνθρώπου ἀδελφοῦ
6 ἐκζητήσω τὴν ψυχὴν τοῦ ἀνθρώπου. [6]ὁ ἐκχέων αἷμα ἀνθρώπου
ἀντὶ τοῦ αἵματος αὐτοῦ ἐκχυθήσεται, ὅτι ἐν εἰκόνι θεοῦ ἐποίησα
7 τὸν ἄνθρωπον. [7]ὑμεῖς δὲ αὐξάνεσθε καὶ πληθύνεσθε καὶ πληρώσατε
τὴν γῆν καὶ πληθύνεσθε ἐπ᾽ αὐτῆς.
8 [8]Καὶ εἶπεν ὁ θεὸς τῷ Νωε καὶ τοῖς υἱοῖς αὐτοῦ μετ᾽ αὐτοῦ λέγων
9 [9]Ἐγὼ ἰδοὺ ἀνίστημι τὴν διαθήκην μου ὑμῖν καὶ τῷ σπέρματι ὑμῶν
10 μεθ᾽ ὑμᾶς [10]καὶ πάσῃ ψυχῇ τῇ ζώσῃ μεθ᾽ ὑμῶν ἀπὸ ὀρνέων καὶ
ἀπὸ κτηνῶν καὶ πᾶσι τοῖς θηρίοις τῆς γῆς, ὅσα μεθ᾽ ὑμῶν, ἀπὸ
11 πάντων τῶν ἐξελθόντων ἐκ τῆς κιβωτοῦ. [11]καὶ στήσω τὴν διαθήκην
μου πρὸς ὑμᾶς, καὶ οὐκ ἀποθανεῖται πᾶσα σὰρξ ἔτι ἀπὸ τοῦ ὕδατος
τοῦ κατακλυσμοῦ, καὶ οὐκ ἔσται ἔτι κατακλυσμὸς ὕδατος τοῦ κατα-
12 φθεῖραι πᾶσαν τὴν γῆν. — [12]καὶ εἶπεν κύριος ὁ θεὸς πρὸς Νωε
Τοῦτο τὸ σημεῖον τῆς διαθήκης, ὃ ἐγὼ δίδωμι ἀνὰ μέσον ἐμοῦ
καὶ ὑμῶν καὶ ἀνὰ μέσον πάσης ψυχῆς ζώσης, ἥ ἐστιν μεθ᾽ ὑμῶν,
13 εἰς γενεὰς αἰωνίους· [13]τὸ τόξον μου τίθημι ἐν τῇ νεφέλῃ, καὶ
14 ἔσται εἰς σημεῖον διαθήκης ἀνὰ μέσον ἐμοῦ καὶ τῆς γῆς. [14]καὶ
ἔσται ἐν τῷ συννεφεῖν με νεφέλας ἐπὶ τὴν γῆν ὀφθήσεται τὸ τόξον
15 μου ἐν τῇ νεφέλῃ, [15]καὶ μνησθήσομαι τῆς διαθήκης μου, ἥ ἐστιν
ἀνὰ μέσον ἐμοῦ καὶ ὑμῶν καὶ ἀνὰ μέσον πάσης ψυχῆς ζώσης ἐν
πάσῃ σαρκί, καὶ οὐκ ἔσται ἔτι τὸ ὕδωρ εἰς κατακλυσμὸν ὥστε
16 ἐξαλεῖψαι πᾶσαν σάρκα. [16]καὶ ἔσται τὸ τόξον μου ἐν τῇ νεφέλῃ,
καὶ ὄψομαι τοῦ μνησθῆναι διαθήκην αἰώνιον ἀνὰ μέσον ἐμοῦ καὶ
ἀνὰ μέσον πάσης ψυχῆς ζώσης ἐν πάσῃ σαρκί, ἥ ἐστιν ἐπὶ τῆς
17 γῆς. [17]καὶ εἶπεν ὁ θεὸς τῷ Νωε Τοῦτο τὸ σημεῖον τῆς διαθήκης,
ἧς διεθέμην ἀνὰ μέσον ἐμοῦ καὶ ἀνὰ μέσον πάσης σαρκός, ἥ ἐστιν
ἐπὶ τῆς γῆς.

9 2 επι ult. M] > A || 3 δεδωκα 911] εδωκα A || 7 επ αυτης] επι της γης A† || 10 τη M] > A

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416246419/64 UNIVERSITÄT LEIPZIG